# TEZAUR LITURGIC

## 9 NOIEMBRIE

## MARIAM MONAHIA DE LA TINOS

# EGKOMIA
# SF.IERARH
# NECTARIE
# DE LA EGHINA,
# MITROPOLITUL
# PENTAPOLISULUI

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Εγκώμια του Αγίου Νεκταρίου

μοναχή Μαριάμ της Μονής Κεχροβουνίου στην Τήνο

Αι γενεαί πάσαι, μακαρίζομέν σε, Νεκτάριε τρισμάκαρ. Απολαβούσα Πάτερ, Σης θείας βοηθείας, υμνώ σε ευχαρίστως. Από των ρυπαρών μου, χειλέων σοι προσφέρω, ύμνον ευχαριστίας. Άγιε προσδέχου, Σων εγκωμίων ύμνους, ους ευγνωμόνως ψάλλω. Άγιος υπήρξας, εν όλη τη ζωή σου, διό και ηγιάσθης. Αγάπη τετρωμένη, ην η Ση καρδία, Θεού, του εν Τριάδι. Απέλαβες αξίως, την δόξαν του Κυρίου, την άρρητον εν πάσι. Αγάλλου εις αιώνας, συν τοις χοροίς Οσίων, ηγιασμένε Πάτερ.

Βλάστημα υπήρξας, ανθέων γεννητόρων, εν πόλει Σηλυβρία. Βουλή η του Υψίστου, την χάριν των θαυμάτων, παρέσχετό σοι Πάτερ. Βοώμεν επί τούτοις, Δόξα τη παναιτίω Τριάδι τη Αγία. Βλέπομεν εν πόθω ταις εκκλησίαις πάσαις εικόναν την σεπτήν σου. Βαβαί της σης αγάπης, καί της φιλευσπλαχνίας, Νεκτάριε θεόφρων. Βουλόμεθα ω Πάτερ, υμνείν σε κατά χρέος, αλλ' όμως απορούμεν.

Γνωστή η βιοτή σου, τοις θαύμασιν εφάνη, Νεκτάριε τοις πάσι. Γνώρισμα υπάρχει, των αρετών ο πλούτος, ων είχεν η ψυχή σου. Γνώμην ουρανίαν,

εκέκτησο εν πάσιν, ως θείος Ιεράρχης. Γεννητόρων πόθον, υπεριδών θεόφρων, Χριστώ προσωκειώθης. Γνωρίζομεν ω Πάτερ ότι ανεκηρύχθη αξίως εν Αγίοις. Γαλήνην και ειρήνην, και ταπεινοφροσύνην, δώρησαι τοις σοις τέκνοις.

Δοξάσας εν τω κόσμω Θεόν τον εν Τριάδι, λαμπρώς αντεδοξάσθης. Δόξαν υπερείδες, ζωής της επιγείου Νεκτάριε θεόφρων. Δόξης ουρανίου προέκρινας τρισμάκαρ και νυν απολαμβάνης. Δόξα σοι Θεέ μου, ότι ο σος θεράπων υπέρ ημών πρεσβεύει.

Δάκρυσιν ενθέοις, θεοφόρε Πάτερ, ήρδευσας την ψυχήν σου. Δεόμαί σου Πάτερ, μη με εγκαταλείπης, εν πάσαις ταις ανάγκαις. Ετέτρωσο αγάπη, του έρωτος του θείου, τρισόλβιε Ιεράρχα. Έχαιρες προσάδων, ύμνους και συγγράφων, τη Κεχαριτωμένη. Εν πάση ευλαβεία και κλίνεσι γονάτων, Αυτήν θερμώς λιτάζεις. Εκ βάθους της καρδίας, έχαιρες παρέ παντί τω δεομένω. Επίσκεψαι νοσούντας, τους επικαλουμένους, την θείαν σου πρεσβείαν. Εν θλίψεσίν με ούσαν, δεινώς κεκακωμένην, μη υπερίδης Πάτερ.

Ζήσας θεαρέστως, ισότιμος εδείχθης, Αγίων Θεοφόρων. Ζήλον θείον έσχες, εν τη ψυχή σου Πάτερ, ευαρεστείν Κυρίω. Ζωήν την ουρανίαν, ποθεΐν αξίωσαν με, την δούλην του Κυρίου. Ζων εθαυματούργεις, προλέγων τοις αιτούσι, τα

μέλλοντα συμβαίνειν. Ζωής της επικήρου, εικότως εμακρύνθης, οικοιωθείς Κυρίω. Ζωής της αϊδίου, ηξίωσαι αξίως, ω θείε Ιεράρχα. Ζωήν την ουρανίαν, ποθείν αξίωσόν με, την δούλη του Κυρίου.

Η ενοικούσα χάρις, εν σοι του Παρακλήτου, δεικνύει σε φωσφόρον. Ἡμέραν τε καί νύκτα, το όνομα Κυρίου εκέκτησο μελέτην. Η εν Αιγύπτω Πάτερ, ζωή σου η οσία, ως φως πάσιν εκλάμπει. Ηθέλησας τρισμάκαρ, φθόνου φυγείν τα κέντρα του θρόνου εμακρύνθης. Ημάς ευλαβουμένους, τας θείας αρετάς του, μνησικακίας ρύσαι. Η κλήσις σου και μόνη, ρύεται απάσας εχθρών τας επηρείας.

Θεόθεν οδηγήθης, ελθείν εν τη Ελλάδι Νεκτάριε τρισμάκαρ. Θύων τω Κυρίω, την μυστικήν θυσίαν, λαμπρώς καθηγιάσθης. Θεοσοφίας πάσης, έμπλεως εγένου, μέγιστε Ιεράρχα. Θείοις ίχνεσί σου, μονάζουσαι Παρθένοι, προσήλθον εν Αιγίνη. Θεοσοφίας πάσης, τον νουν ανακαθάρας, επλήσθης θεορρήμον. Θερμός προστάτης πέλεις, των επικαλουμένων, το θείον όνομά σου.

Ίνα προσαγάγης ταύτας τω Κυρίω οσίως ηγωνίσω. Ιδρύσας την Μονήν σου, ταύτην σεμνών παρθένων, ενέπλησας θεόφρων. Ίδετε ω τέκνα, δουλεύσατε Κυρίω εν όλη τη καρδία. Ιερουργίας Πάτερ, τελών εν τη Μονή σου φωτοειδής εγένου. Ιερών οσίων, Νεκτάριε τρισμάκαρ, αγλάισμα υπάρχεις. Ίλέωσαι

τον Κτίστην, υπέρ παντός του κόσμου, αιτούμενος ειρήνην.

Κλίμαξ προς το ύψος, ως Θείος ποιμενάρχης, έσω ταις μοναζούσαις. Κόσμιος το ήθος, και ταπεινός και πράος, εφαίνου τοις ορώσι. Κατεύθυνον Κυρίω, ημών τας διανοίας, σεπτή σου προστασία. Κακίαν πάσαν Πάτερ, μακράν εκ της ψυχής μου, δίωξον χάριτί σου. Κόπους και ιδρώτας, μυρίους κατεβάλου, υπέρ της Θείας Μάνδρας. Καλούμεν σε προστάτην, εν πάση ημών θλίψει, αι Μοναχοί της Τήνου.

Λαμπρώς εστολισμένος, χαρίσμασιν αγίοις, Νεκτάριε υπήρχες. Λαλιαί και γλώσσαι, τας θείας αρετάς σου, ου δύνανται υμνήσαι. Λατρεύσας πανοσίως, Θεώ τω εν Τριάδι συνήφθης τοις αγγέλοις. Λάμψιν εκπέμπει θείαν, το θείον πρόσωπόν σου, ηνίκα ιερούγεις. Λατρεύσατε ω τέκνα, Κυρίω μετά φόβου, διδάσκων ουκ επαύσω. Λάμψον εν καρδία εμού της παναθλίας το θείον φως Κυρίου.

Μακάριος εγένου, κτησάμενος εν κόσμω, πλουτοποιόν πτωχείαν. Μετέστης εκ του κόσμου, και προς Θεόν μετήλθες Νεκτάριε παμμάκαρ. Μετά μυρίους πόνους, κατέπαυσας θεόφρων, προς δόξαν ουρανίαν. Μονάς τας ουράνιους, Αγγέλων ένθα δήμοι, εσκήνωσας τρισμάκαρ. Μετά θερμών

δακρύων τα τέκνα σου εθρήνουν την Κοίμησίν σου Πάτερ. Μυσταγωγέ του άνω, θυσιαστηρίου, μνείαν ποιού σων τέκνων.

Νόμω υποκύψας, της φύσεως τρισμάκαρ, οσίως εκοιμήθης. Νεκτάριε θεόφρων, άμα τη ση κοιμήσει, έδειξας την σην χάριν. Νόσων καί κινδύνων, απάλλαξον θεόφρων, τους σε υμνολογούντας. Νεκρόν σον θείον σκήνος, η Αίγινα δεχθείσα καρπούται την σην χάριν. Νεκρώσεως χιτώνα αιρέσεων παντοίων σώζε τους πλανηθέντας. Ναμάτων ζωηρρύτων, έμπλησον Ιεράρχα, διψώσαν την ψυχήν μου.

Ξένον όντως θαύμα, το γαρ νεκρόν σου σκήνος, οσμήν θείαν εκπέμπει. Ξενίζεις πάσαν τάξιν, σαις θείαις εμφανείαις, και θαύμασι ποικίλοις. Ξίφος κατά δαιμόνων, Νεκτάριε εδόθη το θείον όνομά σου. Ξένος εν τοις ξένοις, θεόφρων Ιεράρχα έζησας εν τω κόσμω. Ξενίας ουρανίου, αξίωσον σους δούλους, θερμαίς σου ικεσίαις. Ξένισον ω Πάτερ, πάσης φθαρτών εννοίας, τον νουν μου δυσωπώ σε.

Ότε το σον πνεύμα, εις ουρανούς ανήλθε, λαμπρώς εμεγαλύνθης. Οσίων και Δικαίων, ψυχαί εν χαρμόσυνη, υπήντησάν σοι Μάκαρ. Ο τάφος σου ταμείον, ιάσεων τυγχάνει, ημίν Αρχιεράρχα. Οσμήν την ουρανίαν, εκπέμπει θαυμασίως, η θήκη σων λειψάνων. Όσιε Ιεράρχα, Νεκτάριε τρισμάκαρ, χαίρε

εις τους αιώνας. Όμματι ευσπλάχνω, επίβλεψον ω Πάτερ, επί την κάκωσίν μου.

Παρεστηκώς τω θρόνω, της Τρισηλίου δόξης, σους δούλους εποπτεύεις. Πάτερ θεοφόρε, Μονήν σου την αγίαν,φύλαττε εις αιώνας. Πάσαν ευλογίαν, δίδου ση προστασία, τη νήσω της Αιγίνης. Παντοίων χαλεπών τε, νοσημάτων Πάτερ, ίασιν ημίν δίδου. Παρά Κυρίου χάριν, απείληφας διώκειν, πνεύματα πονηρίας. Πάσιν άντιλήπτωρ, τοις προσερχομένοις, γενού ω Ιεράρχα.

Ρήτωρ ανεδείχθης, ρημάτων ουρανίων, Χριστού τη Εκκλησία. Ρείθρα ιαμάτων, διαπαντός βλαστάνεις, ηγιασμένε Πάτερ. Ρώσιν θείαν δίδως, τοις εν ασθένεια δεινώς κεκακωμένοις. Ρύεται πας όστις, προσπίπτει τη ση Κάρα, εξ ολέθριων πόνων. Ροήν μου των δακρύων, μετά των ύμνων δέχου, ως συμπαθείας πλήρης. Ρύσαι την ψυχήν μου παθών των ενοχλούντων παρακαλώ σε Πάτερ.

Στενήν και τεθλιμμένην οδόν ανύσας Πάτερ, Χριστώ συνεδοξάσθης. Στηρίζεις θεραπεύων, Νεκτάριε θεόφρων, καρδίας ασθενούσας. Σώζεις εκ θανάτου, τους επικαλούμενους, το θείον όνομά σου. Σύμπασα η νήσος, Αίγινα έγκαυχαται, τη δαψιλεί σου δόξη. Σώσεις την Μονήν σου, κρατύνων και φυλάττων, αυτήν και μεγαλύνων. Σκέπε φρούρει Πάτερ, αεί τας Μονάζουσας, Μονής Κεχροβουνίου.

Την ιεράν στολήν σου, κοσμήσας τω σω βίω, έδειξας λαμπροτέραν. Τα βέλη του Βελίαρ, απήμβλυνας εις το τέλος, στερρά, υπομονή σου. Την κατά των δαιμόνων, λαβών πλουσίαν χάριν, σώζεις τους σε καλούντας. Τας νόσους θεραπεύεις, τους δαίμονας διώκεις, μάστιγι σης πρεσβείας. Τον θείον ποιμενάρχην, αινούμεν σε βοώντες, χαίρε ω θείε Πάτερ. Ταις σαις ευχαίς με ρύσαι, θανάτου αιφνιδίου, σην δούλην Ιεράρχα.

Υπερφυών θαυμάτων, η θήκη σων λειψάνων, εκβλύζει θεία ρείθρα. Υψίστου ων θεράπων, Νεκτάριε παρέχεις, ενί εκάστω χάριν. Υπέρ των Βασιλέων, και πάσης της Ελλάδος, τον Κύριον δυσώπει. Υδάτων ουρανίων, επόμβρησον ρανίδας, ημίν Αρχιεράρχα. Υπέρ των προσιόντων, τοις θείοις σου λειψάνοις, αεί Χριστόν δυσώπει. Υμνούντος την σην θείαν, και φωτοφόρον μνήμην, ρύσαι παντός κινδύνου.

Φιάλη αρωμάτων, της άνω ευωδίας, πέλει ση θεία Κάρα. Φωστήρ λαμπρός εδείχθης, εν τοις εσχάτοις χρόνοις, Χριστού της Εκκλησίας. Φλόγα παθών ποικίλων, σβέσον τη χάριτί σου, σων τέκνων δεομένων. Φίλος ων Κυρίου, Θεού θείας αγάπης, αξίωσον σοι τέκνα. Φωτός σου ταις ακτίσι, φώτισον την ψυχήν μου, εσκοτισμένην ούσαν. Φλέξον τας ακάνθας, δαιμόνων επηρείας, πυρί αΰλω Πάτερ.

Χαίρει εν σοι Πάτερ, Μονή Κεχροβουνίου, τυχούσα των Χαρίτων. Χαράν και θυμηδίαν, ο τάφος σου παρέχει, τοις φόβοι προσιούσι. Χαίρει η Μονή σου την Κάραν σου πλουτούσα αεί μυροβολούσαν. Χείρας σου τς αγίας, Έπαρον τω Κυρίω υπέρ ημών ω Πάτερ. Χαράς μου την καρδίαν, πλήρωσαν, ω Πάτερ, και ρύσαι αθυμίας. Χαρίτωσον τον νουν μου, και τείχισον τας φρένας, παρακαλώ σε Πάτερ.

Ψάλλων παναρμονίως, Θεώ το θείον ύμνον, υπέρ ημών δυσώπει. Ψώμισον ω Πάτερ, λιμώττουσαν ψυχήν μου, του σωτηρίου άρτου. Ψιχίων ουρανίων, της χάριτος Κυρίου, αξίωσον με Πάτερ. Ψαλλούσας και υμνούσας, τας Μοναχάς σε Πάτερ, φρούρει τη ση πρεσβεία. Ψαλλούση μοι εκ πόθου, τας αρετάς σου, Πάτερ της τόλμης σύγγνωθί μοι. Ψυχών τε και σωμάτων, ίασαι τα πάθη, των σε υμνολογούντων.

Ώφθης Ιεράρχα, πράξει και θεωρία, ισάγγελος εν βίω. Ως μέγαν σε αστέρα, νεοφανέντα Πάτερ, τιμά η Εκκλησία. Ω των παραδόξων, θαυμάτων σου παμμάκαρ,α ενεργείς εν κόσμω. Ω πατέρων κλέος, και καλλονή και δόξα, δέξαι ημών τους ύμνους. Ω ηγιασμένε θεράπων του Κυρίου, σκέπε καμέ σην δούλην. Ω θείε Ιεράρχα, δυσώπει τον σωτήρα, καλώς ημάς βιώσαι.

Δόξα...

Ω Τριάς Αγία Πατήρ Υιός και Πνεύμα ελέησον τον

κόσμο.
Και νυν…

Ω Παναγία Μήτερ ευχαίς του Ιεράρχου σκέπε τας Μοναζούσας.
Τέλος και τω εν Τριάδι Θεώ ημών Δόξα και αίνος.

## ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α'.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Νεκτάριον ὑμνῆσαι. Τῶν ᾿Αγγέλων χορεῖαι, τὴν ἁγίαν ψυχήν σου, ὑπεδέξαντο Πάτερ, ὁ τῶν ὅλων δὲ Σωτήρ, ἀφθαρσίας στεφάνῳ, δόξῃ ἀληθεῖ, ἔστεψε Νεκτάριε, καὶ ῾Αγίων δήμοις, ταύτην ἠρίθμησε.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Νεκτάριον αἰνέσαι. Τί ὡς μύρα, ὦ σεμναὶ Μονάστριαι, χέετε δακρύων ῥεῖθρα;῾Ο πατήρ γάρ, ὑμῶν και διδάσκαλος; ὁ Νεκτάριος ὁ θεοφόρος, ἄνωθεν ὑμῖν, ἀοράτως πάρεστι, καὶ τοὺς πάντας, εὐλογεῖ ἐν Πνεύματι.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Νεκτάριον ὑμνῆσαι. Λίαν θερμῶς, ὁ κλεινὸς Νεκτάριος, ἠκολούθησε Χριστῷ ὁσίως, καὶ ἐπλήσθη, φωτισμοῦ τῆς χάριτος καὶ πάντων,ὤφθη ἀληθῶς, τῶν ῾Αγίων σύσκηνος, διεγείρων ἡμᾶς, πρὸς οἰκείαν μίμησιν.

www.tezaurliturgic.ro

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Νεκτάριον ὑμνῆσαι.
Μὑροφόροι καθάπερ, τοῖς σοῖς ἴχνεσι Πάτερ, ἠκολούθησαν Μονάστριαι ἐνθέως, καὶ βίου τοῦ σοῦ, δεδεγμέναι τὴν χάριν, ἄγουσι φαιδρῶς, τὴν ἁγίαν μνήμην σου, θεοφόρε ἅγιε Νεκτάριε.

Δόξα. Τριαδικόν.
Προσκυνεῖν ὀρθοδόξως, τὴν ῾Αγίαν Τριάδα, ἐν Μονάδι οὐσίας, ῾Ιεράρχα θεόφρον, ἡμᾶς πάντας διδάσκεις, ᾗ νῦν παρεστώς, πρέσβευε Νεκτάριε, ὑπὲρ πάντων τῶν ἀνευφημούντων σε.

Καὶ νῦν. Θεοτοκίον.
Ζωοδότην τεκοῦσαν, τὴν Πανάχραντον Κόρην, ζωὴν βλύζοντα πᾶσιν, ἀνεκήρυξας Πάτερ, διδαχαῖς θεηγόροις, ἧς τὴν ὑπὲρ νοῦν, δόξαν νῦν θεώμενος, σὺν ᾿Αγγέλων μεγαλύνεις τάξεσι.

᾿Αλληλούϊα, ᾿Αλληλούϊα, ᾿Αλληλούϊα, δόξα σοι ὁ Θεός.(ἐκ γ').

